ῥοπή τις οὖσα τοῦ εἴδους πρὸς τὴν τοιαύτην μετάληψιν, ποιεῖ τοῦτ' εἶναι καθόλου, κἂν μήποτε εἰς ἐνέργειαν προαχθῇ· οὐ γὰρ τέτακται πρὸς τὴν ἐνέργειαν ἡ τοιαύτη ἐπιτηδειότης, ῥοπή τις οὖσα τοῦ εἴδους, ὥσπερ ἡ δύναμις, ἥτις ἐκ τοῦ μέρους ἐστὶ τῆς ὕλης. Τὸ δὲ μηδέποτε ὑπὸ πλειόνων μεταλαμβάνεσθαι ποιεῖ τοῦτο μοναδικὸν εἶδος εἶναι καὶ ἄτομον, οὐδ' ἐκ τοῦ λόγου τοῦ εἴδους ἐστὶν ἁπλῶς ἢ τὸ πλείω μέρη ἔχειν, ἢ τὸ ὑπὸ πλειόνων ἀτόμων μεταλαμβάνεσθαι. Ἐκ μὲν γὰρ τοῦ λόγου τοῦ συνεχοῦς ὅλου τὸ τῶν μερῶν πλῆθος ἐστίν· τῷ δὲ καθόλου ὅλῳ ἀπόχρη πρὸς τὸν τῆς ὁλότητος λόγον, ἢ πρὸς τὸ γενέσθαι ἄν ποτε καὶ τοιοῦτον ὅλον, εἴπερ οἷόν τε ἦν, ἐπιτηδειότης, τό γε ἐφ' ἑαυτῷ. Ὡσαύτως δὲ καὶ τὸ ὑπὸ πλειόνων ἀτόμων μεταλαμβάνεσθαι διά τινα αἰτίαν ἑτέραν συμβαίνει, τελικὴν μᾶλλον καὶ ὑλικὴν ἢ αὐτῷ τῷ εἴδει προσήκουσαν· τελικὴν μέν, ὅτι τὰ ἄτομα τοῦ τοιοῦδε εἴδους, φθαρτὰ ὄντα, οὐ δύνανται τῆς ἀϊδιότητος μετέχειν ἢ τῆς διηνεκείας, τό γε εἰς αὐτὰ ἧκον, ᾗ τοιάδε εἰσὶ καὶ οὕτως ὑπάρξεως ἔχοντα· καὶ διὰ τοῦτ' ἐχρῆν ἄτομα πλείω ἑνὶ ὑποβεβλῆσθαι εἴδει, ὡς ἂν τῷ ἀδιαλείπῳ τῆς γενέσεως ἡ τοῦ εἴδους διαμονὴ καὶ συντήρησις περιγίνηται. Καὶ τοῦτο τῷ τοῦ Φιλοσόφου συνᾴδει σκοπῷ ἐν δευτέρῳ τῶν περὶ | ψυχῆς. Ὑλικὴν δὲ αἰτίαν εἶναι φαμὲν τοῦ τῶν ἀτόμων f. 56 πληθυσμοῦ τὸ τὸ τοιοῦτον εἶδος μὴ δύνασθαι ὅλης ὁμοῦ τῆς οἰκείας ὕλης περιδράξασθαι, καθάπερ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ συμβέβηκεν· ὥστε τὸ τοῦ εἴδους ἑνιαῖον ἐν τοῖς μοναδικοῖς οὐκ ἀσθενείας εἶναι μᾶλλον αὐτοῦ ἢ δυνάμεως ἐν τῷ τῆς ὕλης αὐτοῦ περιδράττεσθαι, καθάπερ εἴρηται πρότερον. Καὶ οὕτως ἐξ ἁπάντων τῶν εἰρημένων σαφές ἐστι λόγον εἶναι τοῦ εἴδους καὶ ὅλως τοῦ καθόλου τὸ ἐν πλείοσιν εἶναι καὶ κατὰ πλειόνων λέγεσθαι, τοὐλάχιστον ὅσον εἰς τὴν ἐπιτηδειότητα ἥκει, εἰ καὶ τὸ τοιοῦτο ζήτημα πολλῶν καὶ ἀκριβεστέρων δέοιτο λόγων ἁπλῶς, οἳ παροῦσαν χρείαν ὑπερελαύνουσιν.

Ἐφεξῆς λέγων· Ὡσαύτως δὲ ἀδύνατον ὀρθῶς λέγεσθαι, ἀφίστησι τὴν οὐσίαν, ὡς εἴρηται, τῶν λογικῶν ἐπινοιῶν καὶ κατὰ τὸν ἕτερον τρόπον, καί φησιν ὡς οὐ μόνον καθ' αὑτήν τε καὶ ἀπολελυμένως θεωρουμένῃ τῇ οὐσίᾳ ἀδύνατόν ἐστι τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι, ταὐτὸν δ' εἰπεῖν, τὸν τοῦ γένους ἢ τοῦ εἴδους λόγον, ἀλλ' οὐδὲ κατὰ τὸ εἶναι, ὅπερ ἐν τοῖς ἀτόμοις ἔχει· καὶ λόγον ἐπάγει τοιόνδε· Οὗ τῷ λόγῳ οὐκ ἔνεστιν ἡ ἑνότης, οὐ δυνατόν ἐστι τούτῳ τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι· ἀλλ' ἐκ τοῦ λόγου τῆς ἀνθρωπίνης φύσεως, ὡς ἔστιν ἐν τοῖς ἀτόμοις, ἡ ἑνότης οὐκ ἔστιν, ἀλλὰ μᾶλλον τὸ πλῆθος· τῇ ἄρα ἀνθρωπίνῃ φύσει εἴτουν οὐσίᾳ οὐ δεῖ τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι. Τίθησι δὲ μόνον τὴν ἐλάττω τοῦ λόγου, λαμβάνει τε ἀντὶ μέσου οὐκ ἄμφω τὰ ἐκ

---

13 *τοιοῦδε*: *τοιούτου* L 28 *Ὡσαύτως δὲ ἀδύνατον*: c. IV, 2, p. 164, 27

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ λόγου τοῦ καθόλου τυγχάνοντα, τὴν ἑνότητα δηλαδὴ καὶ κοινότητα, καθάπερ ἐν τῷ πρὸ τοῦ λόγῳ, ἀλλὰ θάτερον τούτων μόνον, δηλαδὴ τὴν ἑνότητα· ἡ γὰρ κοινότης ἐκ τοῦ λόγου τῆς ἀνθρωπίνης ὑγιῶς ἐστι φύσεως, ὡς ἐν τοῖς ἀτόμοις ἔχει τό εἶναι. Τοῦτο δὲ οὐκ ἀτόπως ὁ διδάσκαλος οὕτω ποιεῖ· ἀρκεῖ γὰρ τῇ ἑνός τινος ἀναιρέσει συνθέτου τὸ θάτερον αὐτοῦ μέρος ἀνῃρῆσθαι, ὥσπερ ἀρκοῦν ἐστι δεῖξαι καὶ λόγον τινὰ ψευδόμενον, εἰ μία τῶν προτάσεων ψευδὴς οὖσα ἐλέγχοιτο. Οὕτω τοίνυν κἀνταῦθα, ἐπείπερ ἐκ τοῦ λόγου τοῦ καθόλου ἥ θ' ἑνότης ἥ τε κοινότης ἦν, ἀρκοῦν ἂν εἴη πρὸς τὸ δεῖξαί τι μὴ εἶναι καθόλου τὸ μὴ εἶναι ἕν, ἢ μὴ εἶναι κοινόν τι, ὡς ἐνταῦθα δέδειχεν ὁ διδάσκαλος μὴ προσήκειν τῇ ἀνθρωπίνῃ φύσει ὡς ἐν τοῖς πολλοῖς ἔχει τὸ εἶναι τὴν ἑνότητα, ὥς τε μηδὲ τὸν τοῦ καθόλου f. 56ᵛ λόγον. Εἶτ' εὐθὺς δείκνυσιν | ἑπομένως πῶς ἂν ἀποδιδοῖτο τῇ οὐσίᾳ ἡ λογικὴ ἐπίνοια.

## LXII.

ξβʹ. Ὅπως ἀποδίδοται τῇ οὐσίᾳ ἡ λογικὴ ἐπίνοια.

Ἐπειδὴ γάρ, φησίν, αἱ ἐπίνοιαι ταῖς οὐσίαις οὐκ ἀποδίδονται οὔτε θεωρουμέναις καθ' αὑτὰς καὶ ἀπολελυμένως, οὔτε ὡς ἔχουσιν ἐν τοῖς ἀτόμοις τὸ εἶναι, ὑπόλοιπόν ἐστιν ἀποδίδοσθαι τὰς τοιαύτας ἐπινοίας αὐταῖς ὡς ἔχουσιν ἐν τῷ νῷ τὸ εἶναι, καὶ φανεροὶ πῶς αὐταῖς οὕτω δυνατόν ἐστι τὰς ἐπινοίας ἀποδίδοσθαι. Αὐτὴ γάρ, φησίν, ἡ τοῦ ἀνθρώπου φύσις ἔχει ἐν τῷ νῷ τὸ εἶναι ἐκ πάντων τῶν ἀτόμων ἀφῃρημένον. Ἅτε οὖν ἐκ πάντων ἀφῃρημένη, ἑνοειδῶς ἀναφέρεται πρὸς πάντα τὰ ἄτομα, ἅπερ εἰσὶν ἔξω, καθό ἐστιν ὁμοιότης ἁπάντων ἐπίσης εἰς τὴν πάντων ἐνάγουσα γνῶσιν, ᾗ εἰσὶν ἄνθρωποι, καὶ ἐκ τοῦ τοιαύτην ἀναφορὰν ἔχειν πρὸς πάντα τὰ ἄτομα θεωρεῖ τε ὁ νοῦς ὅπως δύναται προσήκειν πολλοῖς καὶ κατὰ πολλῶν λέγεσθαι, καὶ τὸν λόγον ἀνευρίσκει τοῦ εἴδους, ὅς ἐστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι διαφερόντων ἀριθμῷ ἐν τῷ τί ἐστιν, καὶ τοῦτον ἀποδίδωσιν αὐτῷ· καὶ τοῦτο, φησίν, εἶδος καλείσθω· ὥσπερ δὲ περὶ τῆς εἰδοποιοῦ φύσεως εἴρηται, οὕτω δεῖ νοεῖν καὶ περὶ τῆς τοῦ γένους φύσεως ἐν τῇ πρὸς τὰ εἴδη τάξει· ὡσαύτως καὶ περὶ τῆς διαφορᾶς· καὶ τοῦτο βεβαιοῖ τῇ τοῦ Ἀβερόου ῥήσει, λέγοντος νοῦν εἶναι τὸν ἀποδιδόντα τὸ καθόλου τοῖς πράγμασιν.

## LXIII.

ξγʹ. Ὅπως διαφέρουσιν ἡ πρώτη ἐπίνοια καὶ ἡ δευτέρα.

Ἰστέον δὲ ὅτι πρώτη καὶ δευτέρα ἐπίνοια διενηνόχατον τῷ πρώτην μὲν ἐπίνοιαν εἶναι, τὸ πρὸς ὃ φέρεται πρώτως ὁ νοῦς, καὶ τοῦτ' ἔστιν ἡ οὐσία καὶ τὸ τί ἐστι τοῦ πράγματος, ὥσπερ ἡ ἀνθρωπότης πρώτη ἐστὶν ἐπίνοια τοῦ ἀνθρώπου, διότι οὐσία τοῦ ἀνθρώπου ἐστί. Δευτέρα δέ ἐστιν ἐπίνοια, τὸ εἰς ὃ δευτέρως ὁ νοῦς φέρεται, δηλονότι τοῦτο δὴ τὸ κατηγορεῖσθαι κατὰ πλειόνων, τῆς προθέσεως ἐνταῦθα ἐπιθήκην τινὰ καὶ τὰ

ὕστερον σημαινούσης, ὥστ' εἰ βουλοίμεθα κυρίως λέγειν· ὁ ἄνθρωπος οὐκ ἔστι πρώτη ἐπίνοια, ἀλλ' ὄνομα τῆς πρώτης ἐπινοίας, οὐδὲ δευτέρα ἐπίνοια τὸ εἶδός ἐστιν, ἀλλὰ μᾶλλον δευτέρας ἐπινοίας ὄνομα, ἥτις ἐστὶ τὸ κατηγορεῖσθαι πλειόνων ἀριθμῷ διαφερόντων. Ἀλλ' οὐδὲ κυρίως τὸ τῆς ἐπινοίας ὄνομα τῇ πρώτῃ ἁρμόττει, εἰ μὴ καθόσον ὁ νοῦς εἰς αὐτὸ τὸ πρᾶγμα τείνει καὶ φέρεται· ἄλλως γὰρ καθ' αὑτὸ ἀληθές ἐστι πρᾶγμα, κυρίως δὲ τοὔνομα τοῦτο τῇ δευτέρᾳ προσήκει· ἔστι γάρ τι τοῦ λόγου μόνον, οὔ τι τοῦ πράγματος, καὶ ἔστι τι πεποιημένον ὑπὸ ψυχῆς, ὥστε τὴν πρώτην ἐπίνοιαν ὀνομάζει μόνον ὁ νοῦς, οὐ ποιεῖ· τὴν δευτέραν δὲ καὶ ποιεῖ, καὶ τὴν προσηγορίαν αὐτῇ τίθησιν· ὥστε ἡ πρώτη ἔννοια μᾶλλον ὀνομάζοιτ' ἄν, ἡ δὲ δευτέρα, ἐπίνοια.

Εἰ γοῦν καὶ αὐτὴ ἡ φύσις ἡ νοητή. — Ἐντεῦθεν τρεῖς ἀπορίας ἐφεξῆς ἀλλήλαις κινεῖ, ὧν ἡ | πρώτη τοιάδε ἐστίν· Εἴρηται τὴν ἀνθρωπίνην φύσιν ὑπάρχουσαν ἐν τῷ νῷ πάντων τῶν ἀτόμων ἀφῃρημένην εἶναι καθόλου· ἀπορίαν οὖν ἔχει πῶς ἂν τοῦτ' εἶναι δύναιτο. f. 57

## LXIV.

### ξδ'. Ὅπως ἔνια τὰ αὐτὰ μερικά εἰσι καὶ καθόλου, διαφόρως μέντοιγε.

Σαφὲς γάρ ἐστι τὸ τὸν ἐμὸν νοῦν, ἐν ᾧ ἐστιν αὕτη ἡ φύσις, μερικὸν εἶναι· τὸ δὲ ἐν τῷ μερικῷ μερικόν ἐστι· δεῖ γὰρ τὸ προσλαμβάνον καὶ τὸ προσλαμβανόμενον ἀνάλογα εἶναι. Ταύτην τοίνυν τὴν ἀπορίαν λύει καλῶς, λέγων ταύτην τὴν φύσιν διχῶς δύνασθαι θεωρεῖσθαι· ἕνα μὲν τρόπον, κατὰ τὸ ἴδιον εἶναι, ὅπερ ἔχει ἐν τῇ ψυχῇ καὶ ἐν τῷ νῷ, καὶ οὕτως ἐστὶ μερική, ὥσπερ καὶ ὁ νοῦς αὐτός, ὡς ὁ τῆς ἀπορίας ἐβούλετο λόγος· ἄλλον δὲ τρόπον, καθὸ πρὸς τὰ πράγματα ἀποβλέπει τὰ ἔξω τῆς ψυχῆς ὄντα, καὶ πρὸς αὐτὰ παραβάλλεται ὡς μία τις ἁπάντων αὐτῶν ὁμοιότης, καὶ οὕτω καθόλου ἐστίν, ἅτε πλείω παριστῶσα πράγματα. Ὅθεν δυνάμεθα λέγειν τῇ μὲν ὑπάρξει μερικὴν αὐτὴν εἶναι, ἐν δὲ τῷ παριστάνειν, καθόλου. Ἐντεῦθεν δέ φησι καὶ τὴν ἄγνοιαν τοῦ Ἀβερόου ἔκδηλον γίνεσθαι, ὃς ἠθέλησεν ἐκ τῆς ἑνότητος τοῦ νοητοῦ εἴδους τὴν ἐν πᾶσιν ἀνθρώποις ἑνότητα τοῦ νοῦ συμπεραίνειν· ἡ γὰρ ἐκείνου τοῦ εἴδους καθολικότης, ὡς εἴρηται, οὐκ ἔστι κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ νῷ, ἀλλὰ καθὸ πρὸς τὰ ἔξω πράγματα ἀναφέρεται ὡς ὁμοιότης αὐτῶν. Καὶ τοῦτο δῆλον ποιεῖ ὑλικῷ τινὶ παραδείγματι, τῷ τῆς στήλης ἐν τῇ εἰκόνι. Εἰσὶ μὲν γάρ τινα μερικὰ καὶ τῇ ὑπάρξει καὶ τῇ ἐμφάσει· εἰσὶ δὲ ἕτερα τῇ μὲν ὑπάρξει ἑνικά, ἀλλὰ καθόλου ὡς πλήθους ἐμφαντικά· καὶ τοῦτο δῆλον ἐπὶ τῶν

---

**10-11** *ὥστε — ἐπίνοια* **en marge AS** **12** *Εἰ γοῦν καὶ αὐτή*: **c. IV, 2, p. 165, 5**

Ε.Υ.Δ. ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὑλικῶν· εἰ γάρ τις γένοιτο στήλη πρὸς τὴν τοῦ Πέτρου μόνον ὁμοίωσιν, μερικὴ ἂν εἴη κἂν τῷ εἶναι κἂν τῷ ἐμφαίνειν· εἰ δὲ γένοιτο πρὸς κοινήν τινα πλειόνων ὁμοίωσιν, αὕτη τῷ μὲν εἶναι εἴη ἂν μερική, καθόλου δὲ τῷ γε ἐμφαίνειν. Οὕτως ἔχει καὶ ἐπὶ τῶν εἰδῶν· τὸ μὲν γὰρ ἐν τῇ μερικῇ αἰσθήσει εἶδος ἑνικόν ἐστι τῇ ἐμφάσει· παρίστησι γὰρ καὶ ἐμφαίνει μόνον τὸ μερικὸν αἰσθητόν· ἔστι δὲ κἂν τῷ εἶναι μερικόν, ἅτε ἐν ὕλῃ ἑνικῇ τὸ εἶναι ἔχον· τὰ δὲ ἐν τῷ νῷ εἴδη ἑνικὰ μέν εἰσι τῇ ὑπάρξει· προσειλημμένα γάρ εἰσιν ἐν τῷδε τῷ νῷ, μερικῷ γε ὄντι· καθόλου δέ εἰσιν ὡς πλειόνων πραγμάτων ἐμφαντικά.

## LXV.

ξε'. Πῶς ἂν ἐπαληθεύοιτο ἡ ἀρχὴ αὕτη ἢ ὁ κανὼν ὁ λέγων· ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται, καὶ τὰ ἑξῆς.

Καὶ διότι τῇ ἀνθρωπίνῃ φύσει. — Ἐνταῦθα τὴν δευτέραν τίθησιν ἀπορίαν. Ἴσμεν γάρ, φησίν, ἀληθῆ κατηγορίαν εἶναι τὴν ὅτι ὁ ἄνθρωπος εἶδός ἐστι λέγουσαν, καὶ τὴν ὅτι ὁ Σωκράτης ἄνθρωπός ἐστι· διὰ τί οὖν οὐκ ἔστιν ἀληθὴς καὶ αὕτη ἡ κατηγορία, ὅτι ὁ Σωκράτης ἐστὶν
f. 57v εἶδος; | ἐπεὶ κατὰ τὸν ἀριστοτελικὸν ἐν ταῖς κατηγορίαις κανόνα, ὅταν ἕτερον καθ' ἑτέρου λέγηται, πᾶν ὅπερ ἂν κατηγοροῖτο κατὰ τοῦ κατηγορουμένου, καὶ κατὰ τοῦ ὑποκειμένου τοῦτο ῥηθήσεται. Καὶ ἡ λύσις ἐστίν, ὅτι οὐχ ἕπεται τὸν Σωκράτην εἶναι εἶδος, εἰ καὶ ὅτι μάλιστα ὁ μὲν ἄνθρωπος εἶδός ἐστιν, ὁ δὲ Σωκράτης ἄνθρωπος· μεταβάλλεται γὰρ ὁ μέσος, καὶ τὸ τοῦ συμβεβηκότος ἁμαρτάνεται σόφισμα· ἄλλως γὰρ ἐν τῇ πρώτῃ λαμβάνεται προτάσει ὁ ἄνθρωπος, ὁπόταν αὐτῷ ἡ ἐπίνοια τοῦ εἴδους ἀποδιδῶται, καὶ ἄλλως ἐν τῇ δευτέρᾳ, ἐπειδὰν κατὰ τῶν ἀτόμων λέγηται. Ἐν μὲν γὰρ τῇ πρώτῃ λαμβάνεται καθὸ ἔχει τὸ εἶναι ἐν τῷ νῷ, ἐν δὲ τῇ δευτέρᾳ λαμβάνεται κατὰ τὴν ἰδίαν καὶ ἀπολελυμένην αὐτοῦ θεωρίαν· ἃ πάντα σαφῆ εἰσιν ἐκ τῶν πρότερον εἰρημένων, καὶ διὰ τοῦτο οὐχ ἕπεται· καὶ καθόλου τὸ ἀριστοτελικὸν ἐκεῖνο ἀξίωμα ἐν ταῖς οὐσιώδεσι καὶ καθ' αὑτὸ κατηγορίαις μόνον κρατεῖ, καὶ ἡνίκα τὸ κατηγορούμενον τῷ αὐτῷ λαμβάνηται τρόπῳ ἐν ἀμφοῖν ταῖς προτάσεσι· τοῦτο δὲ οὐκ ἔστιν ἐνταῦθα· αὕτη γὰρ ἡ κατηγορία· ὁ ἄνθρωπος ἐστὶν εἶδος· κατὰ συμβεβηκός ἐστι, καὶ ἄλλως λαμβάνεται ὁ ἄνθρωπος ἐν τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ, ὡς εἴρηται· ὅθεν ὁ ἄνθρωπος καθό ἐστιν εἶδος, τουτέστιν ὡς ἀποδίδοται αὐτῷ ἡ τοῦ εἴδους ἐπίνοια, οὐ κατηγορεῖται κατὰ τοῦ Σωκράτους· καὶ διὰ τοῦτ' ἐπισεσημασμένως προστίθησιν ὁ διδάσκαλος, ὡς ἐξ ἀνάγκης συνέβαινεν ἂν εἶδος εἶναι τὸν Σωκράτην, εἴπερ ὁ τοῦ εἴδους λόγος ἥρμοττε τῷ ἀνθρώπῳ καθὸ ἔχει τὸ εἶναι ἐν τῷ Σωκράτει ἢ καὶ κατὰ τὴν απο-

---

5 *γὰρ*: *δὲ* S   14 *Καὶ διότι τῇ ἀνθρωπίνῃ φύσει*: c. IV, 2, p. 165, 17

λελυμένην αὐτοῦ θεωρίαν, δηλονότι καθόσον ἐστὶν ἄνθρωπος. Εἴ τι γὰρ ἁρμόττει τῷ ἀνθρώπῳ καθὸ ἐστιν ἄνθρωπος, ἁρμόττοι ἂν δήπου καὶ τῷ Πέτρῳ τοῦτο, καὶ κατ' αὐτοῦ κατηγοροῖτο.

## LXVI.

### ξς'. Πῶς ἐστι πρώτη ἐπίνοια ἡ κατὰ τῶν ὑποδεεστέρων λεγομένη.

*Καὶ ὅμως τὸ κατηγορεῖσθαι ἁρμόζει.* — Ἐνταῦθα τρίτην τίθησιν ἀπορίαν, ἥτις ἐστί· πότερον δυνατόν ἐστι τῷ γένει τὴν κατηγορίαν ἀποδίδοσθαι· καὶ φησίν, ὅτι τὸ κατηγορεῖσθαι προσήκει τῷ γένει καθ' αὐτό, καὶ δείκνυσιν εὐθὺς οὕτως· Ἐκεῖνο προσήκει τινὶ καθ' αὐτό, ὅπερ τίθεται εἰς τὸν ὁρισμὸν αὐτοῦ· ἀλλὰ τὸ κατηγορεῖσθαι ἐν τῷ τοῦ γένους ὁρισμῷ κεῖται· τῷ γένει ἄρα τὸ κατηγορεῖσθαι πρόσεστι καθ' αὐτό. Αἱ μὲν προτάσεις σαφεῖς εἰσιν, ὧν ἡ ἐλάττων μόνον ἐν τῷ γράμματι κεῖται· παραμυθεῖται δὲ τὸν λόγον ἀξιολόγως. Ὅτι γὰρ οὐκ ἔξω λόγου τοῦτο συμβαίνει, φησί, δῆλον ἐντεῦθεν· ἡ γὰρ κατηγορία ἔστι τι συμπληρούμενον καὶ ἀπαρτιζόμενον τῇ ἐνεργείᾳ τοῦ συντιθέντος καὶ διαιροῦντος νοῦ, εἰ καὶ τὸν θεμέλιον αὐτῆς ἐν αὐτῷ τῷ πράγματι κέκτηται, δηλονότι τὴν τῶν ὅρων ἐκείνων ἑνότητα, ὧν θάτερον κατὰ θατέρου λέγεται. Ἐπεὶ τοίνυν | ὁ λόγος ταύτης τῆς ἐπινοίας, ἥ ἐστι τὸ γένος, ὁμοίως συμπλέκεται τῇ f. 58 ἐνεργείᾳ τοῦ νοῦ, ἑπόμενόν ἐστι καὶ τὸν τῆς κατηγορίας λόγον αὐτῷ τῷ γένει δικαίως ἀποδίδοσθαι δύνασθαι. Ἀποσκευάζεται δέ τινα κἀνταῦθα ἀμφιβολίαν δι' ὧν προστίθησιν· ἀλλ' οὐδὲν ἧττον ὅμως, φησί, τοῦθ' ᾧπερ ὁ νοῦς τὸν τῆς τοιαύτης κατηγορίας ἀποδίδωσι λόγον, συντιθεὶς ἓν μετ' ἄλλου, οὐκ ἔστιν αὐτὴ ἡ τοῦ γένους ἐπίνοια, ἀλλ' ἐκεῖνο μᾶλλον ᾧ τὴν τοῦ γένους ἐπίνοιαν ὁ νοῦς ἐφαρμόττει, οἷον τὸ σημαινόμενον τῷ τοῦ ζῴου ὀνόματι, λόγου χάριν.

## LXVII.

### ξζ'. Ὅπως ἡ πρότασις αὕτη· „ὁ ἄνθρωπος εἶδός ἐστιν", οὐκ ἔστιν ἀπροσδιόριστος, ἀλλὰ μᾶλλον ἑνική.

Ἐκ δὲ τῶν εἰρημένων τῷ διδασκάλῳ συνάγειν δυνάμεθα φανερῶς, ὡς ἄρα βούλεται πρώτην μὲν ἐπίνοιαν εἶναι τὸ κατηγορούμενον κατὰ τῶν ὑπ' αὐτό, τὴν δὲ δευτέραν ἐπίνοιαν μὴ κατηγορεῖσθαι εἰ μὴ ἐκείνου ᾧ ἀποδίδοται καὶ κατηγορίᾳ παρωνύμῳ, ὥστε τὴν „ὁ ἄνθρωπος εἶδός ἐστι" πρότασιν ἑνικὴν εἶναι, εἰ καὶ δοκεῖ εἶναι ἀδιόριστος· δοκεῖ γὰρ ἐν αὐτῇ τίθεσθαι κοινὸς ὅρος χωρὶς προσδιορισμοῦ, τοῦτο δ' οὐκ ἔστιν ἀληθές· ἡ γὰρ ἀπροσδιόριστος ἐπαληθεύεσθαι δύναται τῷ κατωτέρῳ, οἷον ἡ· „ἔστιν ἄνθρωπος λευκός" τῇ „ὅτι Σωκράτης λευκός ἐστι" συναληθεύειν δύναται·

---

8 *Καὶ ὅμως τό:* c. IV, 2, p. 165, 26

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦτο δ' οὐκ ἔστιν ἔν γε τῷ προκειμένῳ, οὐδ' ἀληθές ἐστι κοινὸν ὅρον πραγματικῶς ἐν ἐκείνῃ τῇ προτάσει κεῖσθαι χωρὶς προσδιορισμοῦ· οὕτως γὰρ ὁ κοινὸς ὅρος ἐκεῖ ἀντὶ μερικοῦ καὶ ἑνικοῦ τινος ὅρου λαμβάνεται, καθόσον αὐτῷ ἡ τοῦ εἴδους ἐπίνοια ἀποδίδοται. Ταῦτα μὲν ἐκ τῆς τοῦ διδασκάλου λέξεως φανερῶς ἀναθρώσκει.

## LXVIII.

### ξη'. Πότερον ἡ πρώτη ἐπίνοια, ἢ ἡ δευτέρα ὁρίζεται ἐν τῷ τὸ γένος ὁρίζεσθαι.

Διοριστέον δέ τι καὶ περὶ τοῦ ὁρισμοῦ τοῦ γένους ἐγκαίρως· ἀπορίαν γὰρ ἔχει, τίποτέ ἐστι τὸ ὁριστόν, ἐπειδὰν τὸ γένος ὁριζώμεθα ἐν τῇ λογικῇ, λέγοντες· „Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον“, πότερον ἡ πρώτη ἐπίνοια, ἢ ἡ δευτέρα. Ὁ μὲν οὖν διδάσκαλος οὗτος ἔκ γε τῶν εἰρημένων δοκεῖ βούλεσθαι τὸν ὁρισμὸν ἐκεῖνον τῆς πρώτης ἐπινοίας εἶναι· αὕτη γάρ ἐστιν ἡ κατὰ τῶν ὑπ' αὐτὴν κατηγορουμένη, ὡς ἂν ὁ ὁρισμὸς ἐκεῖνος οὕτω γένηται ὅπερ κατηγορεῖται κατὰ πλειόνων εἴδει ἐν τῷ τί ἐστι, οἷον, λόγου χάριν, τὸ ζῷον τοῦτο ἐστὶ γένος, ἤγουν τοῦτ' ἔστιν ᾧ ἡ τοῦ γένους ἐπίνοια ἀποδίδοται, καὶ παρωνύμως ἀπ' αὐτῆς ὀνομάζεται γένος. Ταύτης δὲ τῆς δόξης καὶ πολλοὶ γεγόνασιν ἕτεροι, καὶ λόγους τινὰς πρὸς ταύτην κομίζοντες· φασὶ γὰρ ὡς ἐν ἐκείνῳ τῷ λόγῳ ὁρίζεται τὸ κατηγορούμενον κατὰ πλειόνων εἴδει διαφερόντων· ἡ δὲ τοῦ γένους ἐπίνοια οὐ κατηγορεῖται κατὰ πλειόνων εἴδει f. 58v | διαφερόντων· φαύλως γὰρ ἄν τις λέγοι, ὡς ὁ ἄνθρωπος, ἢ ὁ ἵππος γένος ἐστίν· ἀλλὰ πρᾶγμα μᾶλλόν ἐστι τὸ κατὰ πλειόνων κατηγορούμενον.

Ἔτι, εἰ ὡρίζετο τὸ γένος ἐκεῖ, ὅπερ ἐστὶν ἡ ἐπίνοια, ἐτίθετ' ἄν τι τοῦ τῶν ἐπινοιῶν γένους ἐν τῷ ὁρισμῷ· δεῖ γὰρ τὰ μέρη τοῦ ὁρισμοῦ ἐκ τῆς τοῦ ὁριστοῦ τυγχάνειν οὐσίας· ἀλλ' οὐ τίθεταί τι τοιοῦτον, ἀλλὰ πάντα μᾶλλον πραγματικά.

Ἔτι, ἐκεῖνο τὸ γένος ὁρίζεται ὁ Πορφύριος περὶ οὗ ὁ Φιλόσοφος ἐν τοῖς τοπικοῖς διαφόροις διορίζεται θεωρίαις· τοῦτο δέ ἐστι πρᾶγμα, καὶ οὐκ ἐπίνοια, ὡς δῆλον ἐστὶ τῷ θεωροῦντι καλῶς τὰ ἐν τοῖς τοπικοῖς εἰρημένα· ὁ ὁρισμὸς ἄρα οὗτος τοῦ γένους τοῦ πράγματός ἐστιν, οὐ τῆς ἐπινοίας.

Ἕτεροι φασὶν ὡς οὔτε τῆς πρώτης ἐπινοίας ἐστὶν ὁ ὁρισμὸς ἐκεῖνος καθ' αὑτήν, οὔτε τῆς δευτέρας, ἀλλὰ καὶ ἀμφοτέρων ὁμοῦ, τῆς πρώτης δηλονότι μετὰ τῆς δευτέρας, ἀρχοειδέστερον μέντοι γε τῆς δευτέρας, διὰ τὸ τὴν λογικὴν μηδὲν πραγματεύεσθαι περὶ τῶν πρώτων εἰ μὴ καθόσον αὐταῖς αἱ δεύτεραι ἀποδίδονται· οὐ γὰρ ἀνήκει πρὸς τὴν τοῦ λογικοῦ

30 ὁρίζεται L

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θεωρίαν ὁ ἄνθρωπος ἄλλως εἰ μὴ καθόσον αὐτῷ ἡ ἐπίνοια ἀποδίδοται αὕτη, ἥ ἐστι τὸ εἶδος. Οὕτω δὲ δεῖ νοεῖν καὶ περὶ τῶν ἄλλων πρώτων ἐπινοιῶν. Τούτου δ' αἴτιον ἐστίν, ὅτι ὁ λογικὸς τῶν περὶ τὸν λόγον ἐστὶ τεχνίτης, καὶ διὰ τοῦτο τὰ τοῦ πράγματος ὄντα οὐ θεωρεῖ, ἀλλὰ μόνον τὰ ὄντα τοῦ λόγου, καὶ τοῦτ' ἔστιν ὃ κοινῶς περὶ τῆς λογικῆς λέγεται, ὅτι περὶ τῶν δευτέρων ἐστὶν ἐπινοιῶν, αἳ ταῖς προτέραις ἐπιτίθενται· τὸ δ' ἔστιν, ὅτι προηγουμένως περὶ τῶν δευτέρων σκοπεῖ, καὶ διὰ τοῦτο προηγουμένως καὶ τὰς δευτέρας ἐπινοίας ὁρίζεται· ὅθεν ἔνιοι μᾶλλον ἀκριβολογούμενοι λέγουσι τὰς δευτέρας ἐπινοίας εἶναι τὰς ὁριζομένας ἐν λογικῇ, ἐν τῷ συγκεκριμένῳ μέντοι λαμβανομένας, ὅπερ ταὐτόν ἐστι τῷ τὴν πρώτην ἐπίνοιαν μὴ ὁρίζεσθαι καθ' αὑτήν, ἀλλὰ σύν-αμα τὴν πρώτην καὶ τὴν δευτέραν· ἡ γὰρ δευτέρα λαμβανομένη ἐν τῷ συγκεκριμένῳ οὐδέν ἐστιν ἕτερον εἰ μὴ δευτέρα ἐπίνοια τῇ πρώτῃ οἷον εἰπεῖν ἐπιμορφάζουσα. Εἰ γοῦν οὐχ ἡ πρώτη ἐπίνοια ὑπὸ τῇ δευτέρᾳ, ἀλλ' ἡ δευτέρα μᾶλλον ἐν τῷ συγκεκριμένῳ, τουτέστιν ἡ μορφοῦσα τὴν πρώτην, ὁρίζεται, κατ' αὐτοὺς δῆλον ἐστίν, ὡς ἠβούλοντο τὴν δευτέραν προηγουμένην ὁρίζεσθαι. Οὗτοι καὶ τοὺς λόγους ἐκείνους λύουσιν, οἳ τοὐναντίον ἐπεχείρουν δεικνύναι, καὶ τὴν ἑαυτῶν ἀποδεικνύουσι θέσιν πάνυ καλῶς.

Πρὸς μὲν δὴ τὸν πρῶτον φασίν, ὡς οὐδεμία ἀνάγκη | τὸ πρᾶγμα εἶναι f. 59
τὸ ὁριστὸν ἐν ἐκείνῳ τῷ ὁρισμῷ, ἀλλ' ἀρκεῖ εἶναί τι ὁριστὸν ἐκεῖ, σχέσιν ἔχον πρὸς τὸ πρᾶγμα, τὸ κατὰ πλειόνων κατηγορούμενον· οὕτω γὰρ καὶ τὰ συμβεβηκότα προσθήκαις τισὶν ὁρίζεται. Ἡ δὲ πρὸς τὸ κατὰ πλειόνων τῇδέ πῃ κατηγορούμενον σχέσις αὐτή ἐστιν ἡ τοῦ γένους ἐπίνοια, καὶ διὰ τοῦτ' ἐν ἐκείνῳ τῷ ὁρισμῷ τὸ κατηγορούμενον ὑλικῶς τίθεται· ὡς ἐάν τις λέγῃ· „Σιμότης ἐστὶ ῥὶς κοιλή".

Τὸ δὲ δεύτερον οὕτω λύουσιν ἐπιχείρημα· αἱ συγκεκριμέναι ἐπίνοιαι ὁρίζονται δι' ἐκείνου ὅθεν τούτων ἤρτηται γνῶσις· ἡ δὲ τοῦ γένους γνῶσις οὐκ ἤρτηται τῆς γνώσεως τῆς ἐπινοίας ἐν τῷ κοινῷ, ἀλλὰ μᾶλλον ἐκ τοῦ γινώσκειν τὸν τῆς ὑπάρξεως αὐτοῦ τρόπον, οὗ δὴ τῷ λόγῳ τὴν ἐν τῷ ἀντικειμένῳ ἵδρυσιν ἔχει. Διὰ τοῦτο ἐν τῷ τοῦ γένους ὁρισμῷ, ὅ ἐστιν ἐπίνοια συγκεκριμένη, δεῖ τὸ αὐτῆς τίθεσθαι ἀντικείμενον καὶ τὸν τῆς ὑπάρξεως τρόπον, οὗ δὴ τῷ λόγῳ τὴν ἐν τῷ ἀντικειμένῳ ἵδρυσιν ἔχει. Τὸ δὲ ἐν τῷ τοῦ γένους ὁρισμῷ μὴ τίθεσθαί τι ἐκ τοῦ τῶν ἐπινοιῶν γένους ψεῦδος ἐστί· τὸ γὰρ κατηγορεῖσθαι κατὰ πλειόνων καὶ τὰ λοιπὰ πρὸς τὴν ἐπίνοιαν ἀνήκει· εἰ γὰρ καὶ τὰ πλείω ταῦτα ἐφ' ὧν ἡ κατηγορία γίνεται οὐκ εἰσὶν ὄντα τῆς ἐπινοίας, ἀλλὰ τό γε κατηγορεῖσθαι κατὰ πλειόνων τῆς ἐπινοίας ἐστί, τοὐλάχιστον ἐκ τοῦ μέρους τοῦ κατηγορεῖσθαι.

Πρὸς δὲ τὸ τρίτον ἐπιχείρημα λέγουσιν, ὅτι ὁ Φιλόσοφος ἐν τοῖς τοπικοῖς περὶ τῶν τοῦ γένους προβλημάτων θεωρῶν, πραγματικῶς τινας τίθησιν ἰδιότητας, διότι θεωρεῖ καὶ σκοπεῖ πῶς ἂν ἕν τι πρᾶγμα κατηγο-

ΙΩΑΝΝΙΝΑ 2006

ροῖτο κατὰ ἄλλου πράγματος ἀπολελυμένως, οὐ κατὰ τὴν σχέσιν ἣν ἔχει τὸ πρᾶγμα πρὸς τὴν ἐπίνοιαν, ἢ ἡ ἐπίνοια πρὸς τὸ πρᾶγμα· οὕτω δὲ ὁ Πορφύριος τὸ γένος ὁρίζεται. Διὰ τοῦτο καὶ τὸ γένος ἐν μὲν τοῖς τοπικοῖς κατηγορούμενον λέγεται, ἐν δὲ τῷ τοῦ Πορφυρίου βιβλίῳ κατηγορικόν· ὡσαύτως δὲ καὶ τὰ ἄλλα, διότι ἐν μὲν τοῖς τοπικοῖς διακρίνονται γένος καὶ εἶδος καὶ τὰ λοιπά, κατὰ τὸν διάφορον τρόπον τοῦ ἐνυπάρχειν τὰ ἐπάνω τοῖς ὑποκάτω. Ἐν δὲ τῷ τοῦ Πορφυρίου βιβλίῳ διακρίνονται κατὰ τὸν τρόπον τῆς κατηγορίας, ὃν τὰ ἀνωτέρω κατηγοροῦνται κατὰ τῶν ὑπ᾽ αὐτά· ὅθεν καὶ κατηγορούμενα μέν εἰσι τέσσαρα, κατηγορικὰ δὲ πέντε· καὶ τὴν αἰτίαν τό γε νῦν ἔχον σιγῶμεν, ὅτι μὴ τῆς παρούσης χρείας ἐστίν, ἀλλ᾽ ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὅτι περὶ τοῦ αὐτοῦ γένους, ὡς ἐν τῷ
f. 59v | ἐπιχειρήματι λέγεται, κατὰ διάφορον ἀπόβλεψιν ἔν τε ταῖς πέντε φωναῖς καὶ ἐν τοῖς τοπικοῖς διαλαμβάνεσθαι ἀξιοῦσιν οἱ τὸ ἐπιχείρημα λύοντες· βεβαιοῦσι δὲ καὶ τὴν ἑαυτῶν θέσιν οὕτως. Ἐπειδὰν ὁ Πορφύριος ὁρίζηται τὸ γένος, λέγων ὅτι γένος ἐστὶ τὸ κατὰ πλειόνων, καὶ τὰ λοιπά, ὁριστόν ἐστιν ἐν τούτῳ τῷ λόγῳ τὸ καθ᾽ αὑτὸ θεωρητὸν ὑπὸ τοῦ λογικοῦ· θεωρεῖ δὲ ὁ λογικὸς καθ᾽ αὑτό, οὐ τὸ πρᾶγμα ἀπολελυμένως, οὐδὲ τὴν ἐπίνοιαν ἀπολελυμένως, ἀλλὰ μᾶλλον τὴν συγκεκριμένην ἐπίνοιαν, ὡς ὑπ᾽ αὐτῆς τὸ πρᾶγμα παρονομάζεται, εἴτε τὸ συνημμένον ἐκ τοῦ πράγματος καὶ τῆς ἐπινοίας ὑπὸ τῷ τῆς ἐπινοίας λόγῳ, εἴτε μόνην τὴν ἐπίνοιαν ἐν τῇ σχέσει τῇ πρὸς τὸ πρᾶγμα, δεῖ λέγειν εἶναι τὴν συγκεκριμένην ἐπίνοιαν· οὐκ ἄρα τὸ πρᾶγμα ἀπολελυμένως ὁριστόν ἐστιν ἐν ἐκείνῳ τῷ λόγῳ, οὔθ᾽ ἡ ἐπίνοια ἀπολελυμένως, ἀλλ᾽ ἡ συγκεκριμένη ἐπίνοια.

Οὐ μὴν δ᾽ ἀλλὰ καὶ τὰς λύσεις τῶν προεκτεθειμένων λόγων βεβαιοῦσιν οὕτως. Κατὰ τὸν Φιλόσοφον, ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά, ἐν τοῖς ὁρισμοῖς τῶν συμβεβηκότων ἡ ὑποβεβλημένη τούτοις οὐσία δύναται τίθεσθαι, ἀλλὰ τοῦτο πρόσεστιν αὐτοῖς διαφόρως ἐξ ἀφαιρέσεώς τε καὶ συγκεκριμένως λαμβανομένοις, ὡς καὶ Ἀβερόῃ δοκεῖ· ἐν μὲν γὰρ τῷ λόγῳ τῶν ἐξ ἀφαιρέσεως συμβεβηκότων τὸ ὑποκείμενον ἀντὶ διαφορᾶς τίθεται, ὥσπερ ἐπειδὰν λέγωμεν· σιμότης ἐστὶ ῥινὸς κοιλότης· ἐνταῦθα γὰρ τὸ μὲν ὑποκείμενον προδήλως ὡς διαφορά, ἡ δὲ κοιλότης ὡς γένος τέθειται· ὁριζόμενοι δὲ τὸ πάθος ἐν τῇ πρὸς τὸ ὑποκείμενον σχέσει, οὕτω δήπουθεν ὁρισόμεθα· σιμή ἐστι ῥὶς κοίλη· ἐνταῦθα γὰρ ἡ ῥ ί ς, ὑποκείμενον οὖσα τοῦ σιμοῦ, ἀντὶ γένους ἐν τῷ ὁρισμῷ τίθεται, τὸ δὲ κ ο ί λ η ὡς διαφορά. Ὥσπερ οὖν τὰ πραγματώδη συμβεβηκότα, ἂν ὦσι συγκεκριμένα, παρονομάζουσι τὰ ὑποκείμενα αὐτῶν κἂν τῇ πρὸς αὐτὰ σχέσει λέγεται, καὶ διὰ τοῦτο ἐν τῷ ὁρισμῷ τούτων τίθενται, οὕτως αἱ δεύτεραι ἐπίνοιαι παρονομάζουσι τὰ αὐτῶν ἀντικείμενα. Ὅθεν, ὥσπερ ἐν τῷ κυρίως ὁρισμῷ τῶν συμβεβηκότων ἐν τῷ συγκεκριμένῳ τὸ ὑποκείμενον τὴν τοῦ γένους χρείαν πληροῖ, οὕτω κἂν τῷ τῶν ἐπινοιῶν ὁρισμῷ τῶν δευτέρων ἐν τῷ συγκεκρι-

μένῳ δεῖ τὸ ἀντικείμενον ἀντὶ γένους τίθεσθαι· καὶ διότι αἱ δεύτεραι ἐπίνοιαι αἱ αὐταὶ ἤρτηνται ἐκ τοῦ γινώσκεσθαι τοὺς τῆς ὑπάρξεως τρόπους, ὧν τῷ λόγῳ θεμελιοῦνται αὗται ἐν τῷ ἀντικειμένῳ, | καὶ οἷον f. 60 εἰπεῖν ἐνερείδονται, ὁ δὲ ὁρισμὸς χάριν τοῦ τὸ πρᾶγμα γινώσκειν δίδοται, διὰ τοῦτο δέον ἐστὶν ἐν τῷ τῶν ἐπινοιῶν τούτων ὁρισμῷ τοὺς τῆς ὑπάρξεως τίθεσθαι τρόπους, ὧν ἕνεκα ἐν τῷ ἀντικειμένῳ ἱδρύονται.

Οὕτως οὖν ἐν τῷ τοῦ γένους λόγῳ δύο τίθενται, συλλήβδην εἰπεῖν, τό τε ὑποκείμενον, ἐφ' οὗ ἡ ἐπίνοια αὕτη τοῦ γένους θεμελιοῦται, καὶ ὁ τῆς ὑπάρξεως τρόπος, οὗ χάριν ἐν ἐκείνῳ θεμελιοῦται. Τὸ μὲν οὖν ἀντικείμενόν ἐστιν αὐτὸ τὸ κατηγορούμενον· τὸ γὰρ ἄρθρον καθ' ὑπέρβασίν τινα πρὸς τὸ κατηγορούμενον ἀποδίδοσθαι δεῖ, καὶ ὁ νοῦς τῶν λεγομένων τοιοῦτος ἐστίν· γένος ἐστὶ τὸ κατηγορούμενον, τουτέστιν αὐτὸ τὸ πρᾶγμα, ὅπερ ἐστὶν ἀντικείμενον τῆς ἐπινοίας τοῦ γένους· ὥσπερ γὰρ εἰ λέγοιτο· σιμή ἐστι ῥὶς κοίλη ἢ· λευκόν ἐστι τὸ ἔχον τοιόνδε χρῶμα, οὕτω κἀνταῦθα, ἐπειδὰν λέγηται· γένος ἐστὶ τὸ κατηγορούμενον, τοῦτο δ' ἔστιν ὃ κατηγορεῖται, ὑλική ἐστιν ἡ τοιαύτη κατηγορία, τὸ λέγειν γένος ἐστὶν ὃ κατηγορεῖται· τὸ γὰρ „ὃ" πρὸς τὸ ἀντικείμενον τῆς ἐπινοίας φέρεται, ὃ δὴ συστέλλεται πρὸς τὴν τοιάνδε ἐπίνοιαν εἰδικῶς τῇ προσθήκῃ τῶν λοιπῶν· ταῦτα γὰρ τὸν τοῦ εἶναι σημαίνουσι τρόπον, οὗ τῷ λόγῳ θεμελιοῦται, καθὼς εἴρηται, ἡ ἐπίνοια ἐν τῷ ἀντικειμένῳ· ταῦτα δέ εἰσι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι καὶ τὰ ἑξῆς, ἢ τοὐλάχιστον τὸ κατὰ πλειόνων διαφερόντων εἴδει ἐν τῷ τί ἐστιν· ἄλλως δ' οὐχ οἷόν τ' ἂν ἦν ὁρισθῆναι τὸ γένος, εἴπερ ἡ γνῶσις αὐτοῦ δυοῖν τούτων ἤρτηται, τοῦ τε ἀντικειμένου ἐφ' οὗ ἵδρυται καὶ τοῦ τρόπου τοῦ εἶναι, οὗ τῷ λόγῳ τὴν ἐν τῷ ἀντικειμένῳ ἵδρυσιν ἔχει· κἀντεῦθεν, ὥσπερ ἡ τοῦ γένους ἐπίνοια οὐ κατηγορεῖται κατὰ πλειόνων διαφερόντων τῷ εἴδει, οὕτω τὸ κατηγορεῖσθαι πλειόνων διαφερόντων εἴδει οὐκ ἐνυπάρχει τῷ ἀνθρώπῳ, ἢ τῷ ἵππῳ, εἰ καὶ τὸ τῇ ἐπινοίᾳ τοῦ γένους ἀπολελυμένως ὑποκείμενον πρᾶγμα, οἷον τὸ ζῷον, ἐνυπάρχει τούτοις· ὁ γὰρ ὁρισμὸς οὗτος οὐκ ἔστι τοῦ πράγματος ἀπολελυμένως, ἀλλὰ μᾶλλον παρωνύμως ἐστὶν αὐτοῦ.

Οὕτως οὖν φανερόν ἐστιν, ὁπώσποτε ἡ οὐσία. — Ἐνταῦθα πορίζεταί τι ἐκ τῶν εἰρημένων· φανερὸν γάρ ἐστι, φησίν, ἐξ αὐτῶν πῶς ποτε ἡ οὐσία ἢ ἡ φύσις ἔχει πρὸς τὸν λόγον τοῦ εἴδους, καὶ ἡ λέξις ἐνταῦθα σαφής ἐστιν.

## LXIX.

ξθ'. Ὅτι διπλᾶ τὰ συμβεβηκότα, ὑλικά τε καὶ τελικά.

Ἀλλὰ δεῖ πρὸς μείζω τῶν λεγομένων σαφήνειαν σημειώσασθαι ὅτι, καθάπερ ἡ φύσις διπλοῦν ἔχει τὸ εἶναι, ἓν μὲν ὑλικόν, ἕτερον δὲ ἄϋλον,

---

31 *Οὕτως οὖν φανερόν*: c. IV, 2, p. 166, 2

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὕτως ἁρμόττουσιν αὐτῇ καὶ τὰ γένη τῶν συμβεβηκότων· κατὰ μὲν γὰρ τὸ ὑλικὸν αὐτῆς εἶναι, ὅπερ ἐν τοῖς ἀτόμοις ἔχει τὰ ἔνυλα συμβεβηκότα, f. 60v ταύτῃ προσήκουσι, | οἷον λευκότης, μελανία καὶ τὰ τοιαῦτα· κατὰ δὲ τὸ ἄϋλον αὐτῆς εἶναι, τουτέστι τὸ ἐν ψυχῇ, τὰ ἄϋλα προσήκουσι ταύτῃ συμβεβηκότα, οἷον τὰ εἴδη.

## LXX.

### ο΄. Ὅτι ἄλλο ἐστὶ τὸ εἶδος, ὅπερ ἐστὶ δευτέρα ἐπίνοια, καὶ ἄλλο, ὅπερ ἐστὶν ἀρχὴ τῆς νοήσεως.

Εἰδέναι δὲ χρὴ καὶ ἔτι τοῦ εἴδους, ὅπερ ἐστὶ δευτέρα ἐπίνοια, καὶ τοῦ εἴδους, ὅπερ ἐστὶν ἀρχὴ τῆς νοήσεως, διαφορά τίς ἐστι, διότι τὸ μὲν εἶδος, ὅπερ ἐστὶν ἐπίνοια, ἔστιν ὂν τοῦ λόγου· πεποίηται γὰρ ὑπὸ τῆς ψυχῆς· τὸ δὲ εἶδος, ὅπερ ἐστὶν ἀρχὴ τῆς νοήσεως, πραγματικόν τί ἐστι, καθὸ τὸ πραγματικὸν ἀντιδιῄρηται τῷ ὄντι τοῦ λόγου, εἰ καὶ μὴ ἔστι πραγματικόν τι, καθὸ τὸ πραγματικὸν ὂν ἀντιδιῄρηται τῷ ὄντι τῷ τῆς ἐπινοίας· τὰ γὰρ τοιαῦτα εἴδη ὄντα εἰσὶ τῆς ἐπινοίας, ἀλλὰ λέγονται πραγματικὰ ὄντα, καθόσον μορφοῦσι τὸν νοῦν, ὅς ἐστι πραγματικόν τι. Πότερον δὲ ἀρχὴ ποιητική ἐστι τὸ νοητὸν εἶδος τῆς νοήσεως, ἢ μᾶλλον προπαρασκευή τις καὶ διάθεσις πρὸς τὴν ὑποδοχὴν τῆς νοήσεως, καὶ οὕτως ἐστὶν ἀρχή, ἡ δὲ ποιητικὴ ἀρχὴ τοῦ νοεῖν ὁ ποιῶν πέφυκε νοῦς, οὐ δεῖ ἐν τῷ παρόντι ζητεῖν. Ἐνταῦθα χώραν ἔχουσιν ἀπορηθῆναι δύο τινά.

## LXXI.

### οα΄. Πότερον ἡ ἀνθρωπίνη φύσις ἔχει τὸ εἶναι ἀφῃρημένον ἐν τῷ νῷ ἀπὸ τῶν ἀτομούντων.

Πρῶτον μὲν γάρ φησιν ὁ διδάσκαλος τὴν ἀνθρωπίνην φύσιν ἔχειν ἐν τῷ νῷ τὸ εἶναι ἀπὸ πάντων τῶν ἀτόμων ἀφῃρημένον· εἴρηται δὲ τοῦτο μὴ εἶναι πραγματικῶς, ἀλλὰ μόνον κατὰ τὴν θεωρίαν τοῦ λόγου, καθόσον ὁ νοῦς νοεῖ τὴν φύσιν ἄνευ τῶν ἀτομούντων· τοῦτο δὲ δόξειεν ἂν ἀδύνατον εἶναι· ὁ γὰρ νοῶν τι πρᾶγμα ἄλλως ἢ πέφυκε, ψεύδεται· ἐκ γὰρ τοῦ εἶναι τὸ πρᾶγμα, ἢ μὴ εἶναι, καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι λέγεται, ὡς ἐν ταῖς κατηγορίαις λέγεται· ἀλλ' ἡ ἀνθρωπότης οὐδέποτε κεχώρισται τῶν ἀτομούντων αὐτήν· ὁ νοῦς ἄρα νοῶν ταύτην ἄνευ ἐκείνων ψεύδεται. Ἀρκεῖ μὲν οὖν πρὸς τοὐναντίον τὸ τοῦ διδασκάλου τούτου ἀξίωμα· δεῖ μέντοιγε καὶ βοηθεῖν πως τῇ θέσει ταύτῃ. Εἴπερ οὖν ἄλλο, καὶ τοῦτ' ἔστιν ἀναγκαῖον, τὸ τὴν ἀνθρωπότητα καθώς ἐστιν ἐν τῷ νῷ κεχωρίσθαι πασῶν τῶν ἀτομουσῶν ἰδιοτήτων προχείρῳ λόγῳ τοιῷδε· τὸ ἐμποδὼν γινόμενον τῇ νοήσει οὐ δεῖ εἶναι ἐν τῷ πράγματι ὡς ἔστιν ἐν τῷ νῷ· ἀλλὰ τὰ ἀτομοῦντα συμβεβηκότα ἐμποδίζουσι τῇ νοήσει· οὐκ ἄρα δεῖ εἶναι ταῦτα ἐν τῷ νῷ ὡς καὶ ἐν τῷ πράγματι. Ἡ μείζων ἐναργής ἐστιν· ἡ δὲ ἐλάττων ἐντεῦθεν σαφής. Ταυτὶ γὰρ τὰ ἀτομοῦντα ὑλικά εἰσιν, ἡ δὲ ὕλη ἐμποδίζει

τῇ νοήσει, ὡς καὶ πρότερον εἴρηται καὶ μετὰ ταῦτα ῥηθήσεται σὺν Θεῷ· ἄρα καὶ τὰ λοιπά.

Πρὸς δὲ τὸν λόγον, ὃς εἰς τοὐναντίον ἐπεχείρει, δεῖ λέγειν ὅτι τὸ ἀφαιρεῖν τι ἀπ' ἄλλου, ἢ νοεῖν θάτερον θατέρου χωρίς, διχῶς δύναται νοεῖσθαι, πῇ μὲν κατὰ τὸν τῆς συνθέσεως καὶ διαιρέσεως τρόπον, | ὥσπερ f. 61 ὁπόταν νοῶμέν τι εἶναι ἐν ἄλλῳ, ἢ εἶναι κεχωρισμένον αὐτοῦ· πῇ δὲ ἁπλῇ τινι καὶ ἀπολελυμένῃ θεωρίᾳ. Τὸ τοίνυν διὰ τοῦ νοῦ ἀφαιρεῖν τὰ μὴ ὄντα κατὰ τὸ πρᾶγμα ἀφαιρετὰ κατὰ τὸν πρότερον τῆς ἀφαιρέσεως τρόπον καὶ οὕτω νοεῖν οὐκ ἔστι χωρὶς ψεύδους νοεῖν· τὸ δ' ἀφαιρεῖν κατὰ τὸν δεύτερον τρόπον διὰ τοῦ νοῦ τὰ μὴ ἔργῳ ἀφαιρετὰ οὐδὲν ἔχει ψεύδους καὶ ἀπάτης. Οὕτως ἔχει κἀπὶ τοῦ προκειμένου. Ὅθεν ἕτερόν ἐστι τὸ νοεῖν τι μὴ εἶναι ἐν ἄλλῳ, καὶ ἄλλο τὸ νοεῖν θάτερον, μὴ νοουμένου τοῦ λοιποῦ.

Τοῦτο δὲ γένοιτ' ἂν ἐκδηλότερον ἐν αἰσθητῷ παραδείγματι. Εἰ μὲν γὰρ νοοῖμεν ἢ λέγοιμεν τὸ χρῶμα μὴ ἐνεῖναι τῷ κεχρωσμένῳ σώματι, ἢ χωριστὸν εἶναι τούτου, ἔσται ψεῦδος ἐν τῇ δόξῃ, ἢ τῷ λόγῳ. Εἰ δὲ τὰς τούτου ἰδιότητας θεωροῖμεν, οὐδὲν περὶ τοῦ κεχρωσμένου μήλου σκοποῦντες, καὶ οὕτω τὸ νοούμενον προφέροιμεν καὶ φωνῇ, ἄνευ ψεύδους ἐστὶν ἥ δόξα τε καὶ ὁ λόγος· τὸ γὰρ μῆλον οὐκ ἐν τῷ λόγῳ τοῦ χρώματος ἐστί, καὶ διὰ τοῦτο οὐδὲν κωλύει τὸ χρῶμα νοεῖν μηδὲν νοοῦντα περὶ τοῦ μήλου. Ὁμοίως δὲ καὶ τὰ εἰς τὸν λόγον τινὸς ὑλικοῦ εἴδους ἀνήκοντα, οἷον λίθου, ἢ ἀνθρώπου, ἢ ἵππου, δύνανται θεωρεῖσθαι καὶ ἄνευ τῶν τοῦ ἀτόμου ἀρχῶν, αἵτινες οὐκ εἰσὶν ἐν τῷ λόγῳ τοῦ εἴδους, καὶ τοῦτ' ἔστι τὸ ἀφαιρεῖν ἀπὸ τοῦ μερικοῦ τὸ καθόλου ἢ τὸ νοητὸν εἶδος τῶν φαντασμάτων, τὸ θεωρεῖν δηλονότι τὴν φύσιν τοῦ εἴδους ἄνευ τοῦ θεωρεῖν τὰς τοῦ ἀτόμου ἀρχάς, αἳ διὰ τῶν φαντασμάτων ὑπ' ὄψιν γίνονται. Τὸ τοίνυν λέγειν ψευδῆ εἶναι τὸν νοῦν, τὸν ἄλλως ἤπερ ἐστὶ τὸ πρᾶγμα νοοῦντα, ἀληθές ἐστιν, εἰ τὸ ἄλλως τοῦτο ἐπὶ τὸ νοούμενον ἀναφέροιτο πρᾶγμα· τότε γάρ ἐστιν ὁ νοῦς ψευδής, ὅταν νοῇ τὸ πρᾶγμα ἄλλως εἶναι ἢ ὡς ἔστιν· ὅθεν ψευδὴς ἂν ἦν ὁ νοῦς, εἰ οὕτως ἐχώριζε τὸ τοῦ λίθους εἶδος ἀπὸ τῆς ὕλης, ὥστε νοεῖν αὐτὸ μὴ εἶναι ἐν ὕλῃ, καθὼς Πλάτων ὑπέθετο· οὐκ ἔστι δὲ ἀληθές, εἰ τὸ ἄλλως τοῦτο ἐπὶ τοῦ νοοῦντος λαμβάνοιτο· ἔστι γὰρ ἄνευ ψεύδους, εἰ ἄλλος ἐστὶ τρόπος τοῦ νοεῖν, ἐν τῷ νοεῖν, τοῦ τρόπου τοῦ πράγματος ἐν τῷ εἶναι· τὸ γὰρ νοηθέν ἐστιν ἐν τῷ νοοῦντι ἀΰλως, κατὰ τὸν τοῦ νοῦ τρόπον, ἀλλ' οὐχ ὑλικῶς, κατὰ τὸν τοῦ ἐνύλου πράγματος τρόπον.

## LXXII.

### οβ'. Εἰ δυνατὸν εἶναι ἐπιστήμην τῶν αἰσθητῶν.

Δεύτερον, ἀπορίας ἐστὶν ἄξιον εἰ καθόλου δυνατόν ἐστιν ἐπιστήμην εἶναι τῶν αἰσθητῶν, ἢ τῶν καθ' ἕκαστα, ἢ τῶν φθαρτῶν, ἢ τῶν ἐνδεχομένων,

ἢ καὶ τῶν σοφισμάτων, ἐπεὶ περὶ τῶν νοητῶν τε καὶ καθόλου, καὶ ἀφθάρτων, f. 61v καὶ ἀναγκαίων, καὶ ἀληθῶς ὑπαρχόντων | τὰς ἐπιστήμας εἶναι δεῖ. Κοινῷ δὴ λόγῳ περὶ πάντων ἀποκρινόμενος τούτων, φημὶ καὶ εἶναι καὶ δύνασθαι εἶναι ἐπιστήμας περὶ τῶν εἰρημένων· ταῦτα γὰρ πάντα διχῶς δύνανται θεωρεῖσθαι· ἕνα μὲν τρόπον, καθὸ τοιαῦτα εἰσί, καὶ οὕτω περὶ αὐτῶν ἀδύνατόν ἐστιν ἐπιστήμην εἶναι, καὶ διὰ τοῦτο πάντα ὅσα ἄν τις ἐπιχειρήσειεν εἰς τοὐναντίον ἀληθῆ εἰσιν· ἕτερον δὲ τρόπον δύνανται θεωρεῖσθαι, καθόσον περὶ αὐτῶν δύνανται μορφοῦσθαι κανόνες τινὲς καὶ λόγοι νοητοὶ καθόλου ἄφθαρτοι, ἀναγκαῖοι καὶ ἀληθεῖς, καὶ οὕτω δυνατόν ἐστιν ἐπιστήμας εἶναι περὶ αὐτῶν. Οὐδὲ ἐστι τοῦτο πόρρω τοῦ δέοντος ἢ ἀνοίκειον· παραδείγματος γὰρ χάριν, εἰ καὶ ἐνδεχομένη ἐστὶν αὕτη ἡ πρότασις ἤ, Σωκράτης τρέχει, ἤ, Σωκράτης κινεῖται· ἀλλ' ἡ λέγουσα πρότασις· Εἰ Σωκράτης τρέχει, Σωκράτης κινεῖται, ἀναγκαία καθάπαξ ἐστίν. Οὕτω δὲ καὶ τ' ἄλλα ἐπισκοπεῖν δεῖ ἕκαστα ἐπιόντας κατὰ τὴν ὁμοιότητα τούτου τοῦ παραδείγματος.

Νῦν λείπεται θεωρῆσαι. Διορισάμενος ὁ διδάσκαλος περὶ τῶν οὐσιῶν τῶν συνθέτων πραγμάτων, νῦν ἐν τούτῳ τῷ μέρει διορίζεται περὶ τῶν οὐσιῶν τῶν ἁπλῶν ὄντων, τουτέστι τῶν ἁπλῶν οὐσιῶν, καὶ πρῶτον μὲν ψευδῆ τινα θέσιν ἀποσκευάζεται περὶ τούτων· δεύτερον, διορίζεται περὶ τῶν οὐσιῶν αὐτῶν, τῶν ἁπλῶν δηλονότι πραγμάτων· τρίτον, διαιρεῖ τὰς οὐσίας πάσας εἰς τρία γένη. Καὶ περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον μὲν γὰρ συνέχειαν ποιεῖται τῶν προηγουμένων πρὸς τὰ ἑπόμενα καὶ τὴν ψευδῆ θέσιν ἐκείνην τίθησι· δεύτερον, ἀναιρεῖ ταύτην· τρίτον, λύει τινὰ ἀντίθεσιν.

Ἐπειδὴ τοίνυν, φησίν, ἀνωτέρω δεδείχαμεν πῶς ἔστιν ἡ οὐσία ἐν τοῖς συνθέτοις πράγμασιν, νῦν ὑπόλοιπόν ἐστι θεωρεῖν κατὰ τίνα τρόπον ἐστὶν ἡ οὐσία ἐν ταῖς κεχωρισμέναις οὐσίαις, δηλονότι ἐν τῇ ψυχῇ, ἐν τῇ νοήσει καὶ τῇ πρώτῃ αἰτίᾳ. Εἰ γὰρ καὶ πάντες κοινῶς συγχωροῦσιν ἁπλῆν εἶναι τὴν πρώτην αἰτίαν καὶ οὐδεμίαν αὐτῇ διδόασι σύνθεσιν, ὅμως ἔνιοι πειρῶνται τὴν τῆς ὕλης καὶ τοῦ εἴδους σύνθεσιν ἐν ταῖς νοήσεσιν εἰσάγειν κἀν ταῖς ψυχαῖς, καὶ ταύτης τῆς δόξης ἡγεμόνα γενέσθαι φησὶ τὸν Ἀβικεβρῶνα· οὐ τίθησι δὲ ἐνταῦθα τὸ κεκινηκὸς ἐκεῖνον πρὸς ταύτην τὴν θέσιν, ἀλλ' ἐν τῷ πρώτῳ μέρει τῆς θεολογικῆς αὐτοῦ τίθησι πραγματείας ἐν οὐκ ὀλίγοις μέρεσιν· ὡς ἐν βραχεῖ δὲ εἰπεῖν, τὸ κινῆσαι ἐκεῖνον, τοιόνδε τι ἦν.

---

16 *Νῦν λείπεται θεωρῆσαι:* c. V, 1, p. 166, 11 28 *ἁπλῶς* S

Ε.Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXXIII.

### ογ'. Τί ἦν τὸ κεκινηκὸς τὸν Ἀβικεβρῶνα θεῖναι ἐν ταῖς ἁπλαῖς οὐσίαις ὕλην.

Ἐν ᾧ πράγματι αἱ τῆς ὕλης εὑρίσκονται ἰδιότητες, ἐν αὐτῷ καὶ ἡ ὕλη ἐξ ἀνάγκης εὑρίσκεται· ἀλλ' ἐν τῇ ψυχῇ καὶ τῷ ἀγγέλῳ αἱ τῆς | ὕλης εὑρίσκονται ἰδιότητες· καὶ ἡ ὕλη ἄρα. Ἡ μείζων ἐναργής ἐστιν· f. 62 οὐ γὰρ οἷόν τέ ἐστι χωρίζεσθαι τὴν ἰδιότητα τοῦ οὗ ἐστιν ἰδιότης. Ἡ δὲ ἐλάττων σαφὴς ἐντεῦθεν· αὗται γάρ εἰσιν αἱ τῆς ὕλης ἰδιότητες· τὸ εἶναι δυνάμει, τὸ δέχεσθαι εἴτουν προσλαμβάνειν, τὸ ὑποκεῖσθαι καὶ τὸ ἀλλοιοῦσθαι· καὶ ταῦτα πάντα εὑρίσκονται ἔν τε τῇ ψυχῇ καὶ ἐν τῷ ἀγγέλῳ, ὡς δῆλον ἐστὶ τοῖς ἀκριβῶς θεωροῦσιν. Εἰδέναι δὲ ἄξιον ὡς Ἀβικεβρὼν οὗτος, εἰ καὶ τὰ ἄλλα ἐπαινετὸς φιλόσοφος γέγονεν, λογικῆς μέντοι γε οὐκ αὐτάρκως εἶχε μεθόδου· ὅθεν ἐν τούτῳ τῷ κινητικῷ προδήλως ὑπὸ τῆς ὁμωνυμίας ἠπάτηται. Αὐτίκα τὸ προσλαμβάνειν, ὃ μᾶλλον αὐτῷ δοκεῖ, ταῖς φύσεσιν ἐκείναις προσήκειν, μάλιστα τῆς ὕλης ὄν, ἄλλως μὲν προσήκει τῷ νῷ, ἑτέρως δὲ τῇ ὕλῃ, καὶ τριπλῆ ἐστιν ἡ διαφορά· πρώτη, ὅτι ἡ μὲν ὕλη δέχεται ἄτομα εἴδη, ὁ δὲ νοῦς εἴδη καθόλου, τοὐλάχιστον ἐν τῷ παριστᾶν καὶ ἐμφαίνειν· δευτέρα, ὅτι ἡ μὲν ὕλη προσλαμβάνει τὸ εἶδος, ὡς ἂν δι' αὐτοῦ ἔν τινι εἶναι συσταίη εἰδοποιῷ, οἷον τὴν μορφὴν τοῦ ἀέρος, ὡς ἂν συσταίη ἐν τῷ εἰδοποιῷ εἶναι τοῦ ἀέρος· ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων· ὁ δὲ νοῦς προσίεται τὰ εἴδη, ὡς ἂν δι' αὐτῶν συσταθῇ ἐν τῷ νοητῷ εἶναι· τρίτη, ὅτι ἡ μὲν ὕλη δέχεται τὰ εἴδη, μεσιτευούσης κινήσεως καὶ μεταβολῆς· ὁ δὲ νοῦς ἄνευ τούτων· ὅθεν φησὶν ὁ Φιλόσοφος ἐν ἑβδόμῳ τῶν φυσικῶν, ἐν τῷ καθῆσθαι ἢ ἵστασθαι καὶ ἠρεμεῖν τὴν ψυχὴν σοφὴν καὶ φρονίμην γίνεσθαι· γίνεται δὲ φρόνιμος, ἐπειδὰν ἐν ἑαυτῇ δέχηται τὰ νοητὰ εἴδη. Καὶ πολλὰς ἄλλας διαφορὰς ἔστιν ἀποδοῦναι τοῦ τε προσλαμβάνειν τὸν νοῦν καὶ τοῦ τὴν ὕλην δέχεσθαι. Ὥσπερ οὖν ἐστιν ὁμωνυμία φανερῶς ἐν τῷ προσλαμβάνειν, οὕτω κἂν τῷ δυνάμει εἶναι καὶ ὑποκεῖσθαι καὶ μεταβάλλεσθαι, ὡς δῆλόν ἐστι τῷ ἕκαστα ἐπιόντι ταῦτα σπουδαίως. Ἀρκεῖ δὲ ἡμῖν τὰ ἐν τῷ προσλαμβάνειν ἀποδεδειγμένα, ὥστε τύπον δοῦναί τινα καὶ περὶ τῶν ἄλλων.

Τοῦτο δὲ τοῖς τῶν φιλοσόφων ῥητοῖς. — Νῦν ἀναιρεῖ ταύτην τὴν θέσιν καὶ φησὶν ὡς αὕτη ἡ θέσις ψευδής ἐστιν ἐκ τοῦ μάχεσθαι τοῖς λόγοις τῶν φιλοσόφων πάντων κοινῶς, οἳ ταύτας τὰς οὐσίας κεχωρισμένας τῆς ὕλης προσαγορεύουσι καὶ χωριστὰς καὶ χωρὶς εἶναι πάσης ὕλης ἀποδεικνύουσι. Καὶ λόγον τινὰ κομίζουσιν ἰσχυρότατον ὅσον ἐν ταύτῃ τῇ ὑποθέσει· οὐ γάρ, φασίν, ἡ δύναμις ἄνευ τῆς ὕλης ἐστί, καὶ αὐτὸ τοι-

---

10-11 *καὶ τῷ ἀγγέλῳ* L    13 *μέντοι γε* om L    32 *Τοῦτο δὲ τοῖς*: c. V, 1, p. 166, 16



Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὗτον ἐστίν· ἀλλ' ἡ δύναμις πάσης οὐσίας νοερᾶς ἄϋλος ἐστί· καὶ οὐσία
f. 62v ἄρα | πᾶσα νοερὰ ἄϋλός ἐστιν. Ἡ μείζων σαφής ἐστιν ὅσον πρὸς τὸ πρῶτον μέρος· τὸ γὰρ λαμβάνον καὶ λαμβανόμενον δεῖ εἶναι ἀνάλογα. Καὶ ὅσον δὲ πρὸς τὸ δεύτερον μέρος, σαφές ἐστιν· οὐδὲν γὰρ ποιεῖ ἐπέκεινα τοῦ ἰδίου εἴδους, καὶ οὕτω τὸ ὑλικὸν οὐ δύναται συνιστᾶν τι ἄϋλον. Ἡ ἐλάττων δείκνυται· ἡ γὰρ δύναμις τῆς νοούσης οὐσίας ἐστὶν ὁ νοῦς ὅσον μὲν πρὸς τὴν ἀνθρωπίνην ψυχήν, ὅ τε δυνάμει νοῦς καὶ ὁ ποιῶν· ὅσον δὲ καὶ πρὸς τοὺς ἀγγέλους κοινῶς λαμβανόμενος, ἐν οἷς οὐκ ἔστιν ὁ δυνάμει νοῦς, οὔθ' ὁ ἐνεργείᾳ νοῦς εἰ μὴ ὁμωνύμως· οὐ γὰρ ἀνάγκη καὶ ἐν ἀγγέλοις τοῦτ' εἶναι καθάπερ ἐν ἡμῖν· οὔτε γάρ εἰσί ποτε δυνάμει νοοῦντες μόνον τῇ πρὸς ἃ πεφύκασι νοεῖν παραθέσει, οὔτε τὰ τούτων νοητὰ δυνάμει εἰσὶ νοητά, ἀλλ' ἐνεργείᾳ πρώτως καὶ ἀρχοειδῶς νοοῦσι τὰ ἄϋλα· καὶ πρὸς τούτοις ἐν ἡμῖν μὲν ὁ ἐνεργείᾳ καὶ δυνάμει νοῦς τῇ πρὸς τὰ φαντάσματα παραθέσει ἐστίν, ἃ δὴ πρὸς τὸν δυνάμει νοῦν παραβάλλονται ὥσπερ τὰ χρώματα πρὸς τὴν ὄψιν, πρὸς δὲ τὸν ἐνεργείᾳ νοῦν ὥσπερ τὰ χρώματα πρὸς τὸ φῶς. Ὁ δὲ ἀγγελικὸς νοῦς οὐδεμίαν ἔχει πρὸς τὰ φαντάσματα παράθεσιν, διότι οὐδὲ φαντασίαν ἔχει, οὐδέ τινα ἄλλην γνωστικὴν δύναμιν παρὰ τὸν νοῦν. Ἐπαναλαμβάνων τοίνυν τὴν ἀπόδειξιν τῆς ἐλάττονος, λέγω ὅτι ἡ δύναμις τῆς νοούσης οὐσίας ἐστὶν ὁ νοῦς· ἀλλ' οὐδέν ἐστι νοητὸν εἰ μὴ καθόσον ἐστὶν ἄϋλον, τουτέστι καθόσον τῆς ὕλης χωρίζεται καὶ τῶν ἰδιωμάτων αὐτῆς, καὶ τοῦτο συμβαίνει διὰ τὸ τὴν ὕλην κωλυτικὴν εἶναι τῆς γνώσεως, ὡς πρότερον εἴρηται. Ἀλλὰ τοῦτο τὸ ἄϋλον νοητὸν προσλαμβάνεται ἐν τῷ δυνάμει νῷ τῆς ψυχῆς καὶ ἐν τῷ νῷ τοῦ ἀγγέλου· γίνεται δὲ ἄϋλον καὶ νοητὸν τῇ ἀνθρωπίνῃ ψυχῇ τῇ δυνάμει τοῦ ἐνεργείᾳ νοῦ. Ἑπόμενόν ἐστιν ἄρα τὸν δυνάμει καὶ ἐνεργείᾳ νοῦν τῆς ἡμετέρας ψυχῆς καὶ τὸν ἀγγελικὸν νοῦν εἶναι ἀΰλους, καὶ ἑπομένως πᾶσαν οὐσίαν νοερὰν ἄϋλον εἶναι. Καὶ διὰ τοῦτο συμπεραίνει καλῶς, ὡς ἐν πάσῃ νοερᾷ οὐσίᾳ δεῖ καθάπαξ ἀμεθεξίαν εἶναι τῆς ὕλης· εἶτα φησὶν ἐξηγούμενος τοῦτο, ὡς μήτε δηλονότι μέρος ἑαυτῆς ἔχειν τὴν ὕλην, μήτε εἶναι τὸ εἶδος οἷον εἰπεῖν ἐμπεπιεσμένον καὶ ἐντετυπωμένον τῇ ὕλῃ, ὡς ἐπὶ τῶν ἐνύλων πάντων ἐστὶν εἰδῶν.

## LXXIV.

οδ'. Ὁποῖον ποιοῦν δύναται ποιεῖν ὑπὲρ τὸ οἰκεῖον εἶδος.

Ἰστέον δὲ ὅτι διττόν ἐστι τὸ ποιοῦν, τό τε ἀρχοειδὲς καὶ τὸ δευτερεῦον, δηλονότι τὸ ὀργανικόν. Ὀργανικὸν ποιοῦν ἐστὶν ὃ ποιεῖ τῇ
f. 63 δυνάμει τοῦ πρώτου ποιοῦντος· τὸ δὲ πρωτο|τύπως καὶ ἀρχικῶς ποιοῦν οὐ ποιεῖ τῇ ἑτέρου δυνάμει καθόσον ἀρχοειδές ἐστιν. Ἀλλ' ἐπειδὰν λέγωμεν ὡς οὐδὲν ποιεῖ ὑπὲρ τὸ ἴδιον εἶδος, ἢ νοεῖται τοῦτο περὶ τοῦ ἀρχοειδοῦς

4 *σαφής* L    12 *ἄϋλα*: *ἄλλα* L